καὶ σώφρονος. Οἶδα γάρ πολλὰς εὐσχήμονας καὶ ἀγαθὰς, ὧν με δεῖ μνημονεῦσαι τὸν βίον πρὸς οἰκοδομὴν καὶ ἔρωτα τῶν καλῶν. Οὐδὲν τοίνυν θηρίον ἐν κόσμῳ ἐφάμιλλον γυναικὸς πονηρᾶς. Τί λέοντος δεινότερον ἐν τετραπόδοις; Ἀλλ' οὐδέν. Τί δε ὠμότερον δράκοντος ἐν ἑρπετοῖς; Ἀλλ' οὐδέν. Πλὴν καὶ λέων καὶ δράκων ἐν τῷ κακῷ ἐλάττω τυγχάνουσι. Καὶ μάρτυρεῖ μου τῷ λόγῳ ὁ σοφώτατος Σολομὼν, λέγων· Συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδόκησα, ἢ μετὰ γυναικὸς πονηρᾶς καὶ γλωσσώδους. Καὶ ἵνα μὴ νομίσῃς τὸν προφήτην εἰρωνείᾳ εἰρηκέναι, ἐξ αὐτῶν τῶν πραγμάτων κατάμαθε ἀκριβῶς. Τὸν Δανιὴλ ἐν τῷ λάκκῳ οἱ λέοντες ᾐδέσθησαν, τὸν δὲ δίκαιον Ναβουθαὶ Ἰεσάβελ ἐφόνευσε· τὸ κῆτος τὸν Ἰωνᾶν ἐν τῇ κοιλίᾳ ἐφύλαξε; Δαλιδὰ δὲ τὸν Σαμψὼν εὐρήσασα καὶ δήσασα, τοῖς ἀλλοφύλοις παρέδωκε· δράκοντες καὶ ἀσπίδες καὶ κεράσται τὸν Ἰωαννὴν ἐν τῇ ἐρήμῳ ἐτρόμασαν, Ἡρωδιὰς δὲ αὐτὸν ἐν ἀρίστῳ ἀπέτεμεν· οἱ κόρακες τὸν Ἡλίαν ἐν τῷ ὄρει διέθρεψαν, Ἰεσάβελ δὲ αὐτὸν μετὰ τὴν εὐεργεσίαν τοῦ ὑετοῦ πρὸς φόνον ἐδίωκε. Τί γὰρ ἔλεγεν; Εἰ σὺ Ἠλιού, καὶ ἐγὼ Ἰεζάβελ· τάδε ποιήσαισάν μοι οἱ θεοὶ, καὶ τάδε προσθείησαν, εἰ μὴ αὔριον ταύτῃ τῇ ὥρᾳ θήσομαι τὴν ψυχήν σου, ὡς ἑνὸς τῶν τεθνηκότων· Καὶ ἐφοβήθη Ἠλίας, καὶ ἐπορεύθη κατὰ τὴν ψυχὴν αὐτοῦ, καὶ ἀπῆλθεν εἰς τὴν ἔρημον ὁδὸν ὑμερῶν τεσσαράκοντα. Καὶ ἦλθεν ὑπο Ῥαθμὲν, καὶ ᾐτήσατο τὴν ψυχὴν αὐτοῦ ἀποθανεῖν, καὶ εἶπε· Κύριε ὁ θεὸς, ἱκανούσθω μοι νῦν, λάβε τήν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι οὐ κρείσσων ἐγὼ ὑπὲρ τοὺς πατέρας μου. Ο οἴμοι· ὁ προφήτης Ἠλίας ἐφοβήθη γυναῖκα; ὁ τὸν ὑετὸν τῆς οἰκουμένης ἐν τῇ γλώττῃ βαστάζων, ὁ πῦρ οὐρανόθεν κατενέγκας, καὶ δι' εὐχῆς νεκροὺς ἐγείρας, ἐφοβήθη γυναῖκα; Ναὶ, ἐφοβήθη. Οὐδεμία γὰρ κακία συγκρίνεται γυναικὶ πονηρᾷ. Μαρτυρεῖ δέ μου τῷ λόγῳ ἡ Σοφία λέγουσα, ὅτι Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικὸς. Ὁ τὸ κακὸν τοῦ διαβόλου καὶ ὀξύτατον ὅπλον· διὰ γυναικὸς ἐξ ἀρχῆς τὸν Ἀδὰμ ἐν παραδείσῳ κατέρωσε· διὰ γυναικὸς τὸν πραότατον Δαυὶδ πρὸς τὴν τοῦ Οὐρίου δολοφονίαν ἐξέμηνε· διὰ γυναικὸς τὸν σοφώτατον Σολομῶντα πρὸς παράβασιν κατέστρωσε· διὰ γυναικὸς τὸν ἀνδρειότατον Σαμψῶνα ξυρήσας ἐτύφλωσε· διὰ γυναικὸς τοὺς υἱοὺς Ἠλεὶ τοῦ ἱερέως ἠδάφησε· διὰ γυναικὸς τον εὐγε-

роногых? Нѣсть ничтоже. Что ли страшнѣе зміа в плъжющих? Нѣсть ничтоже. Токмо жена зла и льстива. Лев' бо и зміи вльми хоуждьше соуть жены прокоудивы: свѣдитель бо ми моудрыи Соломон' г҃лаи: лоуче жити съ львом и с медвѣдем в поустыни, нежели сь женою льстивою и ꙗзычною *). И да не мниши игру реченіѧ та, но ѡпытаи бывшаѧ ѿ них злобы, і познаеши истинну: Данила льви в ровѣ оустыдишасѧ, а праведнаго Наоуфеа Іезавель оуби; китъ Іоноу въ оутробѣ сохрани, Далида же Самьпсона остригши иноплеменникомъ предасть; змиеви і аспиди и керастари в пꙋстыни Іѡанна снабдѣша, Иродіѧ же на обѣдѣ главоу его ѿсече; врани Ілію в горѣ прекръмиша, Іезавель по бл҃годати дождевнѣи оубити его искааше. Что бо г҃лаше, аще ты Иліѧ, аз же Іезавель. Тако да сотворѧет ми б҃зи и се да приложат ми, аще оутро в сіи часъ не положоу д҃ше твое, ꙗко единого ѿ оумръшых сих, і оубоꙗвсѧ Іліа, иде на д҃шꙋ свою и пріиде в гороу, и проси д҃ше своеи см҃рти, и рече: Г҃ди Б҃же мои! довлѣет ми н҃нѣ, возми оубо д҃шꙋ мою ѿ мене, ꙗко нѣсмь азъ боліи оц҃ь своих. Оувы мнѣ! П҃ркь Илиѧ оубоꙗсѧ жены, иже дождь на ꙗзыцѣ носѧ всеи вселеннѣи, иже огнь словомь с нбсе сведе и м҃лтвою м҃ртвеца воставивъ, оубоꙗлисѧ жень, еи оубоꙗсѧ. Ни едина бо злоба сравняетсѧ злобѣ женьстѣи: послꙋшествꙋеть бо ми слововесе м҃дрть глющи: нѣсть главы иноа, паче главы зміевы, и нѣсть злобы паче злобы женьскы. ѡле злое діаволе острое ороужіе! Женою Адама ис породы изверже; женою кроткаго Д҃вда на оубіеніе Оуріино сотвори; женою премудраго Соломана на престоупленіе совратив; женою доблаго Самьѱона ѡстриг'

---

*) Въ «Сборникѣ Паисіевскомъ» Кирилло-Бѣлозерскаго монастыря находится такое же мѣсто въ Словѣ *о Іродіадѣ и о злыхъ женахъ*: «Никии же звѣрь убо подобенъ есть женѣ злѣи язычнѣи. Что лютѣе льва в четвероножных, что ли горшее в ползущих ядовитыя змѣи; яко левъ и змия хуже ес҃ злыя жены язычныя, свидѣтельствуеть бо ми мудрый г҃ля: луче есть со лвомъ в пустыни жити, нежели съ женою злою». См. *Шевырева* Поѣздка въ Кирилло-Бѣлозерскій монастырь. 1850. Часть 2, стр. 39.